μὲν ἀτεκνία. νεότης δ' ἡ πολλὴ καὶ ἀγαθή. ἀγαθὴ δὲ
κατ' ἀρετὴν σώματος. οἷον μέγεθος. κάλλος. ἰσχύν. δύνα-
μιν ἀγωνιστικήν. ψυχῆς δέ, σωφροσύνη καὶ ἀνδρία νέου
ἀρεταί. ἰδίᾳ δὲ εὐτεκνία καὶ πολυτεκνία. τὸ τὰ ἴδια τέ-
κνα πολλὰ καὶ τοιαῦτα εἶναι καὶ θήλεα καὶ ἄρρενα. θη-
λειῶν δὲ ἀρετή, σώματος μὲν κάλλος καὶ μέγεθος. ψυχῆς
δὲ σωφροσύνη καὶ φιλεργία ἄνευ ἀνελευθερίας. ὁμοίως δὲ
καὶ ἰδίᾳ, καὶ κοινῇ, καὶ κατ' ἄνδρας καὶ κατὰ γυναῖκας
δεῖ ζητεῖν ἕκαστον ὑπάρχειν τῶν τοιούτων. ὅσοις γὰρ τὰ κατὰ
γυναῖκας φαῦλα, ὥσπερ Λακεδαιμονίοις. σχεδὸν κατὰ
τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσι. πλούτου δὲ μέρη, νομίσματος
πλῆθος. γῆς, χωρίων κτῆσις. πλήθει καὶ μεγέθει καὶ κάλλει
διαφερόντων. ἔτι δὲ ἐπίπλων κτῆσις καὶ ἀνδραπόδων καὶ
βοσκημάτων. καὶ πλήθει καὶ κάλλει διαφερόντων. ταῦτα
δὲ πάντα ἀσφαλῆ καὶ ἐλευθέρια καὶ χρήσιμα. ἔστι δὲ χρή-
σιμα μὲν μᾶλλον τὰ κάρπιμα. ἐλευθέρια δὲ τὰ πρὸς ἀπό-
λαυσιν. κάρπιμα δὲ λέγω, ἀφ' ὧν αἱ πρόσοδοι. ἀπολαυ-
στικὰ δέ, ἀφ' ὧν μηδὲν παρὰ τὴν χρῆσιν γίνεται ὅ τι καὶ ἄ-
ξιον. ὅρος δὲ ἀσφαλείας μὲν τὸ ἐνταῦθα καὶ οὕτω κεκτῆ-
σθαι, ὥστε ἐφ' αὑτῷ εἶναι τὴν χρῆσιν αὐτῶν. τοῦ δὲ οἰκεῖα εἶναι
ἢ μή. ὅταν ἐφ' αὑτῷ ᾖ, ἀπαλλοτριῶσαι λέγω δὲ ἀπαλλοτρί-
ωσιν, δόσιν καὶ πρᾶσιν. ὅλως δὲ τὸ πλουτεῖν ἐστὶν ἐν τῷ χρῆ-
σθαι μᾶλλον, ἢ ἐν τῷ κεκτῆσθαι. καὶ γὰρ ἡ ἐνέργειά ἐστι τῶν τοιού-
των καὶ ἡ χρῆσις, πλοῦτος. εὐδοξία δ' ἐστὶ, τὸ ὑπὸ
πάντων σπουδαῖον ὑπολαμβάνεσθαι. ἢ τοιοῦτόν τι ἔχειν οὗ
πάντες ἐφίενται. ἢ οἱ πολλοί. ἢ οἱ ἀγαθοί. ἢ οἱ φρόνιμοι.
τιμὴ δ' ἐστὶ μὲν σημεῖον εὐεργετικῆς εὐδοξίας. τιμῶνται
δὲ δικαίως μὲν καὶ μάλιστα οἱ εὐεργετηκότες. οὐ μὴν
ἀλλὰ τιμᾶται καὶ ὁ δυνάμενος εὐεργετεῖν. εὐεργεσία δὲ, ἢ

Divitias qui amat: fructus
n͠ no capit ex eis.